# UIT DE ILIAS

## VAN

## HOMEROS

## BOEK VI

## Hektor en Andromache



becommentarieerd door drs. J.H. van Hal
april 2022

Τρώων δ᾽ οἰώθη[1] καὶ Ἀχαιῶν φύλοπις αἰνή:
πολλὰ δ᾽ ἄρ᾽ ἔνθα καὶ ἔνθ᾽[2] ἴθυσε[3] μάχη πεδίοιο[4]
ἀλλήλων ἰθυνομένων[5] χαλκήρεα δοῦρα
μεσσηγὺς Σιμόεντος ἰδὲ[6] Ξάνθοιο ῥοάων.
Αἴας δὲ πρῶτος Τελαμώνιος ἕρκος Ἀχαιῶν
Τρώων ῥῆξε[7] φάλαγγα, φόως[8] δ᾽ ἑτάροισιν ἔθηκεν,
ἄνδρα βαλὼν ὃς ἄριστος ἐνὶ Θρῄκεσσι τέτυκτο[9]
υἱὸν Ἐϋσσώρου Ἀκάμαντ᾽ ἠΰν[10] τε μέγαν τε.
τόν ῥ᾽ ἔβαλε πρῶτος κόρυθος φάλον[11] ἱπποδασείης[12],
ἐν δὲ μετώπῳ[13] πῆξε, πέρησε[14] δ᾽ ἄρ᾽ ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Ἄξυλον δ᾽ ἄρ᾽ ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐϋκτιμένῃ ἐν Ἀρίσβῃ[15]
ἀφνειὸς[16] βιότοιο[17], φίλος δ᾽ ἦν ἀνθρώποισι.
πάντας γὰρ φιλέεσκεν[18] ὁδῷ ἔπι οἰκία ναίων.
ἀλλά οἱ οὔ τις τῶν[19] γε τότ᾽ ἤρκεσε[20] λυγρὸν ὄλεθρον
πρόσθεν[21] ὑπαντιάσας[22], ἀλλ᾽ ἄμφω θυμὸν ἀπηύρα[23]
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ᾽ ἵππων
ἔσκεν ὑφηνίοχος[24]· τὼ δ᾽ ἄμφω γαῖαν ἐδύτην[25].
Δρῆσον δ᾽ Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξε·
βῆ δὲ μετ᾽ Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
νηῒς[26] Ἀβαρβαρέη τέκ᾽ ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ᾽ ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος
πρεσβύτατος γενεῇ, σκότιον[27] δέ ἑ γείνατο[1] μήτηρ·

| | |
|---|---|
| [1] οἰόω | alleen laten |
| [2] ἔνθα καὶ ἔνθ᾽ | heen en weer |
| [3] ἰθύω | voortdringen |
| [4] *gen. loci* | |
| [5] ἰθύνομαι | richten op |
| [6] ἰδὲ | en |
| [7] ῥήγνυμι | breken |
| [8] φάος τό | licht, redding |
| [9] = ἦν | |
| [10] ἠΰς = ἐύς | goed |
| [11] φάλος | helmkam |
| [12] ἱπποδασείη | met paardeharenhelmbos |
| [13] μέτωπον τό | voorhoofd |
| [14] περάω | gaan door |
| [15] *Arisbè, een stad in de Troas* | |
| [16] ἀφνειός *+ gen.* | rijk aan |
| [17] βίοτος | levenshave, bezittingen |
| [18] φιλέω | gastvrij onthalen |
| [19] = τούτων | |
| [20] ἄρκέω | afweren |
| [21] πρόσθεν | voor hem |
| [22] ὑπαντιάω | tegemoet treden (de vijand) |
| [23] ἀπαυράω | afnemen |
| [24] ὑφηνίοχος | menner (*teugelhouder*) |
| [25] δύομαι | binnengaan (*van de ziel in de grond naar de onderwereld*) |
| [26] νηῒς | bronnimf |
| [27] σκότιος | in het duister, heimelijk |

ποιμαίνων[2] δ᾽ ἐπ᾽ ὄεσσι[3] μίγη φιλότητι καὶ εὐνῇ,
ἣ δ᾽ ὑποκυσαμένη[4] διδυμάονε[5] γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
Μηκιστηϊάδης καὶ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα[6].
Ἀστύαλον δ᾽ ἄρ᾽ ἔπεφνε[7] μενεπτόλεμος Πολυποίτης.
Πιδύτην δ᾽ Ὀδυσεὺς Περκώσιον [8]ἐξενάριξεν
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ᾽ Ἀρετάονα δῖον.
Ἀντίλοχος δ᾽ Ἄβληρον ἐνήρατο[9] δουρὶ φαεινῷ
Νεστορίδης, Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Σατνιόεντος[10] ἐϋρρείταο[11] παρ᾽ ὄχθας[12]
Πήδασον αἰπεινήν. Φύλακον δ᾽ ἕλε Λήϊτος ἥρως
φεύγοντ᾽· Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν.
Ἄδρηστον δ᾽ ἄρ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ζωὸν ἕλ᾽· ἵππω γάρ οἱ ἀτυζομένω[13] πεδίοιο
ὄζῳ[14] ἔνι βλαφθέντε[15] μυρικίνῳ[16] ἀγκύλον[17] ἅρμα
ἄξαντ᾽[18] ἐν πρώτῳ ῥυμῷ[19] αὐτὼ μὲν ἐβήτην
πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο[20],
αὐτὸς δ᾽ ἐκ δίφροιο παρὰ τροχὸν[21] ἐξεκυλίσθη[22]
πρηνὴς[23] ἐν κονίῃσιν ἐπὶ στόμα· πὰρ δέ οἱ ἔστη
Ἀτρεΐδης Μενέλαος ἔχων δολιχόσκιον ἔγχος.
Ἄδρηστος δ᾽ ἄρ᾽ ἔπειτα λαβὼν ἐλίσσετο γούνων·
'ζώγρει[24], Ἀτρέος υἱέ, σὺ δ᾽ ἄξια δέξαι ἄποινα[25]:
πολλὰ δ᾽ ἐν[26] ἀφνειοῦ πατρὸς κειμήλια[27] κεῖται
χαλκός τε χρυσός τε πολύκμητός[1] τε σίδηρος,

---

| | |
|---|---|
| [1] γείνατο *transitief* | voortbrengen |
| [2] ποιμαίνω | de kudde hoeden |
| [3] ὄις | schaap |
| [4] ὑποκύομαι | heimelijk zwanger worden |
| [5] διδυμάονε *dualis* | tweelingbroers |
| [6] συλάω | roven |
| [7] ἔπεφνον *aor.* | doden |
| [8] Περκώσιος | uit Perkotè |
| [9] ἐναίρω | doden |
| [10] Σατνιόεις: *een grote woudbeek in Mysia* | |
| [11] ἐϋρρείτης | sterk stromend |
| [12] ὄχθη ἡ | oever |
| [13] ἀτύζομαι | bang zijn, angstig vluchten |
| [14] ὄζος | twijg |
| [15] βλάπτομαι | struikelen |
| [16] μυρίκινος | van tamarisk |
| [17] ἀγκύλος | gekromd, met gebogen bak |
| [18] ἄγνυμι | breken |
| [19] ῥυμός | disselboom |
| [20] φοβέομαι | vluchten |
| [21] τροχός | wiel |
| [22] ἐκκυλίνδομαι | eruit rollen |
| [23] πρηνὴς | voorover, languit |
| [24] ζςγρέω | levend gevangen nemen, het leven schenken |
| [25] ἄποινα τά | losgeld |
| [26] ἐν + *gen.* | in het huis van |
| [27] κειμήλιον τό | kleinood |

τῶν κέν τοι χαρίσαιτο[2] πατὴρ ἀπερείσι’[3] ἄποινα
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ᾽ ἐπὶ νηυσὶν Ἀχαιῶν.
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε·
καὶ δή μιν τάχ᾽ ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν ᾧ θεράποντι καταξέμεν[4]· ἀλλ᾽ Ἀγαμέμνων
ἀντίος[5] ἦλθε θέων, καὶ ὁμοκλήσας[6] ἔπος ηὔδα·
‘ὦ πέπον[7] ὦ Μενέλαε, τί ἢ δὲ σὺ κήδεαι[8] οὕτως
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον
πρὸς Τρώων; τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ᾽ ἡμετέρας, μηδ᾽ ὅν τινα γαστέρι[9] μήτηρ
κοῦρον[10] ἐόντα φέροι, μηδ᾽ ὃς φύγοι, ἀλλ᾽ ἅμα πάντες
Ἰλίου[11] ἐξαπολοίατ᾽ ἀκήδεστοι[12] καὶ ἄφαντοι[13].
ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως
αἴσιμα[14] παρειπών[15]· ὃ δ᾽ ἀπὸ ἕθεν ὤσατο χειρὶ
ἥρω᾽ Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην[16]· ὃ δ᾽ ἀνετράπετ’[17], Ἀτρεΐδης δὲ
λὰξ[18] ἐν στήθεσι βὰς ἐξέσπασε[19] μείλινον ἔγχος.
Νέστωρ δ᾽ Ἀργείοισιν ἐκέκλετο[20] μακρὸν ἀΰσας·
‘ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
μή τις νῦν ἐνάρων[21] ἐπιβαλλόμενος[22] μετόπισθε[23]
μιμνέτω[24] ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι[25]
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας.’
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθά κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι[1] δαμέντες,

---

| | |
|---|---|
| [1] πολύκμητός | met zorg bewerkt |
| [2] χαρίζομαι | geven |
| [3] ἀπερείσιος | onmetelijk |
| [4] *epexegetische inf.; aor. mixtus* | |
| [5] ἀντίος | tegemoet |
| [6] ὁμοκλάω | luid schreeuwen |
| [7] πέπων | beste vriend |
| [8] κήδομαι *+ gen.* | zich bekommeren om |
| [9] γαστήρ ὁ | maag, buik |
| [10] κοῦρος | jongeman, ongeboren zoon |
| [11] Ἰλίου: *de gen. is afhankelijk van het voorvoegsel in ἐξαπολοίατ᾽* | |
| [12] ἀκήδεστος | onbegraven |
| [13] ἄφαντος | onzichtbaar, spoorloos |
| [14] αἴσιμος | behoorlijk, betamelijk |
| [15] παρεῖπον | toespreken, aanraden |
| [16] λαπάρη | zijde |
| [17] ἀνατρέπομαι | achterover vallen |
| [18] λὰξ | met zijn hak |
| [19] ἐκσπάω | uittrekken |
| [20] κέλομαι | bevelen |
| [21] ἔναρα τά | buit; *gen.part.* |
| [22] ἐπιβάλλομαι *+ gen.* | ich werpen op, belust zijn op |
| [23] μετόπισθε | achter |
| [24] μίμνω | blijven; *imperatief $3^e$ sg*: moet |
| [25] ἕκηλος | rustig |

εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
Πριαμίδης Ἕλενος οἰωνοπόλων ὄχ᾽ ἄριστος·
‘Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται[2], οὕνεκ᾽ ἄριστοι
πᾶσαν ἐπ᾽ ἰθύν[3] ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ᾽ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε[4] πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι[5] δὲ χάρμα[6] γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον[7] ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ᾽ αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί[8] περ· ἀναγκαίη γὰρ ἐπείγει[9]·
Ἕκτορ, ἀτὰρ σὺ πόλιν δὲ μετέρχεο, εἰπὲ δ᾽ ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἣ δὲ ξυνάγουσα γεραιὰς
νηὸν[10] Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ
οἴξασα[11] κληῖδι[12] θύρας ἱεροῖο δόμοιο
πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος
εἶναι ἐνὶ μεγάρῳ καί οἱ πολὺ φίλτατος αὐτῇ,
θεῖναι[13] Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις[14] ἠκέστας[15] ἱερευσέμεν, αἴ κ’[16] ἐλεήσῃ[17]
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
ὥς κεν Τυδέος υἱὸν ἀπόσχῃ[18] Ἰλίου ἱρῆς
ἄγριον αἰχμητὴν κρατερὸν μήστωρα[19] φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι.
οὐδ᾽ Ἀχιλῆά ποθ᾽ ὧδέ γ᾽ ἐδείδιμεν[20] ὄρχαμον[21] ἀνδρῶν,
ὅν πέρ φασι θεᾶς ἐξέμμεναι[22]· ἀλλ᾽ ὅδε λίην[23]
μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν[1].’

---

| | |
|---|---|
| [1] ἀναλκείη ἡ | lafheid |
| [2] ἐγκλίνω + *dat.* | doen leunen op |
| [3] ἰθύς ἡ | taak |
| [4] ἐρύκω, *aor.* ἠρύκακε | tegenhouden |
| [5] δήιος | vijandig, vijiand |
| [6] χάρμα τό | leedvermaak |
| [7] ἐποτρύνω | aansporen |
| [8] τείρω | kwellen |
| [9] ἐπείγω | dringen |
| [10] νηός | tempel |
| [11] οἴγνυμι | openen |
| [12] κληίς ἡ | sleutel |
| [13] *inf. pro imperativo 3e sg.!; zo ook ὑποσχέσθαι in vs. 93* | |
| [14] βοῦς ἦνις | eenjarige koe |
| [15] ἤκεστος | ongetemd |
| [16] αἴ κε + *coni.* | om te zien of |
| [17] ελεέω | medelijden hebben |
| [18] ἀπέχω + *gen.* | afhouden van |
| [19] μήστωρ | verwekker |
| [20] δείδω, *pl.pf.* ἐδείδιμεν | vrezen |
| [21] ὄρχαμος | leider |
| [22] = ἐξεῖναι | |
| [23] λίην | al te zeer |

ὣς ἔφαθ᾽, Ἕκτωρ δ᾽ οὔ τι κασιγνήτῳ ἀπίθησεν[2].
αὐτίκα δ᾽ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο[3] χαμᾶζε,
πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ᾽ ἐλελίχθησαν[4] καὶ ἐναντίοι[5] ἔσταν Ἀχαιῶν·
Ἀργεῖοι δ᾽ ὑπεχώρησαν, λῆξαν[6] δὲ φόνοιο,
φὰν[7] δέ τιν᾽ ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα[8] κατελθέμεν, ὡς ἐλέλιχθεν.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
‘Τρῶες ὑπέρθυμοι τηλεκλειτοί[9] τ᾽ ἐπίκουροι,
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ᾽ ἂν ἐγὼ βείω[10] προτὶ Ἴλιον, ἠδὲ γέρουσιν
εἴπω βουλευτῇσι[11] καὶ ἡμετέρῃς ἀλόχοισι
δαίμοσιν ἀρήσασθαι[12], ὑποσχέσθαι δ᾽ ἑκατόμβας.’
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
ἀμφὶ δέ μιν σφυρὰ[13] τύπτε καὶ αὐχένα δέρμα κελαινὸν
ἄντυξ ἣ πυμάτη[14] θέεν ἀσπίδος ὀμφαλοέσσης.
Γλαῦκος δ᾽ Ἱππολόχοιο πάϊς καὶ Τυδέος υἱὸς
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντε,
τὸν πρότερος προσέειπε βοὴν ἀγαθὸς Διομήδης·
‘τίς δὲ σύ ἐσσι, φέριστε[15], καταθνητῶν ἀνθρώπων;
οὐ μὲν γάρ ποτ᾽ ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων
σῷ θάρσει[16], ὅ τ᾽[17] ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας·
δυστήνων[18] δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν[19].
εἰ δέ τις ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθας,
οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος
δὴν[20] ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν[1]·

---

[1] ἰσοφαρίζω — zich meten met iem. in iets
[2] ἀπιθέω — ongehoorzaam zijn
[3] ἅλλομαι — springen
[4] ἐλελίζω — draaien
[5] ἐνατίος + *gen.* — tegenover
[6] λήγω + gen. — ophouden met
[7] = ἔφασαν
[8] ἀλέξω + dat. — beschermen
[9] τηλεκλειτός — wijd en zijd beroemd
[10] *coni. aor. van* βαίνω
[11] βουλευτής — raadsheer
[12] ἀράομαι — bidden
[13] σφυρόν — enkel
[14] πυμάτος — uiterst
[15] φέριστος — beste
[16] θάρσος τό — onverschrokkenheid
[17] ὅ τ᾽ — omdat
[18] δύστηνος — rampzalig
[19] ἀντιάω — ontmoeten
[20] δὴν — lang

ὅς ποτε μαινομένοιο[2] Διωνύσοιο τιθήνας[3]
σεῦε[4] κατ᾽ ἠγάθεον[5] Νυσήϊον[6]· αἳ δ᾽ ἅμα πᾶσαι
θύσθλα[7] χαμαὶ κατέχευαν ὑπ᾽ ἀνδροφόνοιο Λυκούργου
θεινόμεναι[8] βουπλῆγι[9]· Διώνυσος δὲ φοβηθεὶς
δύσεθ᾽[10] ἁλὸς κατὰ κῦμα, Θέτις δ᾽ ὑπεδέξατο κόλπῳ[11]
δειδιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ[12].
τῷ μὲν ἔπειτ᾽ ὀδύσαντο[13] θεοὶ ῥεῖα[14] ζώοντες,
καί μιν τυφλὸν[15] ἔθηκε Κρόνου πάϊς· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο[16] πᾶσι θεοῖσιν·
οὐδ᾽ ἂν ἐγὼ μακάρεσσι θεοῖς ἐθέλοιμι μάχεσθαι.
εἰ δέ τίς ἐσσι βροτῶν οἳ ἀρούρης[17] καρπὸν[18] ἔδουσιν,
ἆσσον[19] ἴθ᾽ ὥς κεν θᾶσσον ὀλέθρου πείραθ᾽[20] ἵκηαι.᾽
τὸν δ᾽ αὖθ᾽ Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·
‘Τυδεΐδη μεγάθυμε, τί ἦ γενεὴν ἐρεείνεις[21];
οἵη περ φύλλων[22] γενεὴ[23] τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ᾽ ἄνεμος χαμάδις[24] χέει, ἄλλα δέ θ᾽ ὕλη[25]
τηλεθόωσα[26] φύει[27], ἔαρος[28] δ᾽ ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύει ἣ δ᾽ ἀπολήγει[29].
εἰ δ᾽ ἐθέλεις καὶ ταῦτα δαήμεναι[30] ὄφρ᾽ ἐῢ εἰδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
ἔστι πόλις Ἐφύρη[1] μυχῷ[2] Ἄργεος ἱπποβότοιο,

---

| | |
|---|---|
| [1] ἐρίζω | twisten |
| [2] μαίνομαι | buiten zichzelf zijn (uit dronkenschap) |
| [3] τιθήνη | voedster |
| [4] σεύω | achterna zitten |
| [5] ἠγάθεος | zeer heilig |
| [6] Νυσήϊον τό | het Nusa-gebergte (*waar Dionusos zou zijn opgevoed*) |
| [7] θύσθλα τά | heilig gerei |
| [8] θείνω | slaan |
| [9] βουπλήξ | koeprikkel |
| [10] *aor. mixtus* | |
| [11] κόλπος | boezem |
| [12] ὁμοκλή | luide schreeuw |
| [13] ὀδύσσομαι *+ dat.* | boos zijn op |
| [14] ῥεῖα *adv.* | gemakkelijk |
| [15] τυφλός | blind |
| [16] ἀπεχθάνομαι *+ dat.* | zich gehaat maken bij |
| [17] ἄρουρα ἡ | land, akker |
| [18] καρπός | vrucht |
| [19] ἆσσον | dichterbij |
| [20] πεῖραρ τό | de strikken |
| [21] ἐρεείνω | vragen naar |
| [22] φύλλον τό | blad |
| [23] γενεὴ | geslacht, generatie |
| [24] χαμάδις | op de grond |
| [25] ὕλη | hout, bos |
| [26] τηλεθάω | bloeien |
| [27] φύω *intr.* | groeien |
| [28] ἔαρ | lente |
| [29] ἀπολήγω *intr.* | ophouden |
| [30] ΔΑ- δαήμεναι | leren |

ἔνθα δὲ Σίσυφος[3] ἔσκεν, ὃ κέρδιστος[4] γένετ᾽ ἀνδρῶν,
Σίσυφος Αἰολίδης: ὃ δ᾽ ἄρα Γλαῦκον τέκεθ᾽ υἱόν,
αὐτὰρ Γλαῦκος τίκτεν ἀμύμονα Βελλεροφόντην·
τῷ δὲ θεοὶ κάλλός τε καὶ ἠνορέην[5] ἐρατεινὴν[6]
ὤπασαν[7]· αὐτάρ οἱ Προῖτος κακὰ μήσατο[8] θυμῷ,
ὅς ῥ᾽ ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ οἱ ὑπὸ σκήπτρῳ ἐδάμασσε[9].
τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο[10] δῖ᾽ Ἄντεια
κρυπταδίῃ[11] φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ᾽ ἀγαθὰ φρονέοντα δαΐφρονα Βελλεροφόντην.
ἣ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
‘τεθναίης ὦ Προῖτ᾽, ἢ κάκτανε[12] Βελλεροφόντην,
ὅς μ᾽ ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ.’
ὣς φάτο, τὸν δὲ ἄνακτα χόλος[13] λάβεν οἷον ἄκουσε·
κτεῖναι μέν ῥ᾽ ἀλέεινε[14], σεβάσσατο[15] γὰρ τό γε θυμῷ,
πέμπε δέ μιν Λυκίηνδέ[16], πόρεν δ’[17] ὅ γε σήματα[18] λυγρὰ[19]
γράψας ἐν πίνακι[20] πτυκτῷ[21] θυμοφθόρα[22] πολλά,
δεῖξαι δ᾽ ἠνώγειν[23] ᾧ πενθερῷ[24] ὄφρ᾽ ἀπόλοιτο.
αὐτὰρ ὁ βῆ Λυκίηνδὲ θεῶν ὑπ᾽ ἀμύμονι πομπῇ[25].
ἀλλ᾽ ὅτε δὴ Λυκίην ἷξε[26] Ξάνθόν τε ῥέοντα,

---

[1] *Ephyra was mogelijk de stad van het oude Elis, gelegen aan de rivier Selleeis, en de oude hoofdstad van Augeias, die door Heracles werd veroverd. Homeros vermeldt in de Katalogos van schepen en elders in de Ilias Ephyra en schrijvers hebben gedebatteerd over welke Ephyra wordt bedoeld.*
[2] μυχός ὁ — achterste deel
[3] *Sisyphos is een figuur uit de Griekse mythologie. Hij was de stichter en koning van Korinthe. Hij was een sluwe man, maar beging de vergissing de goden uit te dagen. Hij wist telkens aan hen te ontsnappen, maar verergerde hiermee zijn uiteindelijke straf. Die luidde dat hij tot het einde der tijden in de Tartarus een rotsblok tegen een berg moest duwen.*
[4] κέρδιστος — sluwst
[5] ἠνορέη — mannelijkheid
[6] ἐρατεινός — bekoorlijk
[7] ὀπάζω — geven
[8] μήδομαι — zinnen op
[9] δάμνημι — onderwerpen; *de skepter hier symbool van de macht Proitos (οἱ)*
[10] ἐπιμαίνομαι — razend verlangen naar
[11] κρυπτάδιος — heimelijk
[12] κατακτείνω — doden; Aiolische vorm (synkope en assimilatie)
[13] χόλος — gal, woede
[14] ἀλεείνω — vermijden
[15] σεβάζομαι — door schroom weerhouden worden van
[16] *acc.+* δέ — naar
[17] ἔπορον *aor.* — geven
[18] σῆμα τό — (geschreven)teken; wordt hier verwezen naar het lineair B?
[19] λυγρός — verderfelijk
[20] πίναξ — plankje
[21] πτυκτός — gevouwen
[22] θυμοφθόρος — dodelijk
[23] ἄνωγα *pf. met praesensbetekenis* bevelen
[24] πενθερός ὁ — schoonvader
[25] πομπή — geleide
[26] ἵκω — bereiken

προφρονέως[1] μιν τῖεν ἄναξ Λυκίης εὐρείης·
ἐννῆμαρ ξείνισσε[2] καὶ ἐννέα βοῦς ἱέρευσεν.
ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος Ἠὼς
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ἰδέσθαι
ὅττί ῥά οἱ γαμβροῖο[3] πάρα Προίτοιο φέροιτο.
αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην[4] ἐκέλευσε
πεφνέμεν[5]· ἣ δ᾽ ἄρ᾽ ἔην[6] θεῖον[7] γένος οὐδ᾽ ἀνθρώπων,
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα[8],
δεινὸν ἀποπνείουσα[9] πυρὸς μένος αἰθομένοιο[10],
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι[11] πιθήσας[12].
δεύτερον αὖ Σολύμοισι[13] μαχέσσατο κυδαλίμοισι[14]:
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας[15].
τῷ δ᾽ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν[16] δόλον ἄλλον ὕφαινε[17]·
κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
εἷσε[18] λόχον[19]· τοὶ δ᾽ οὔ τι πάλιν οἶκονδὲ νέοντο·
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.
ἀλλ᾽ ὅτε δὴ γίγνωσκε θεοῦ γόνον[20] ἠῢν ἐόντα
αὐτοῦ μιν κατέρυκε[21], δίδου δ᾽ ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης·
καὶ μέν οἱ Λύκιοι τέμενος[22] τάμον[23] ἔξοχον[24] ἄλλων
καλὸν φυταλιῆς[25] καὶ ἀρούρης, ὄφρα νέμοιτο[26].
ἣ δ᾽ ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ
Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.

---

[1] προφρονέως bereidwillig
[2] ξεινίζω gastvrij onthalen
[3] γαμβρός schoonzoon
[4] ἀμαιμάκετος geweldig groot
[5] ΦΕΝ-, *aor.* ἔπεφνον doden
[6] = ἦν
[7] θεῖος goddelijk
[8] χίμαιρα geit
[9] ἀποπνέω uitblazen
[10] αἰθόμενος vonkelend, brandend
[11] τέρας τό teken
[12] πιθέω *+ dat.* vertrouwen op
[13] *volk in Lukia*
[14] κυδάλιμος fier
[15] ἀντιάνειρα tegen mannen opwegend
[16] πυκινός schrander
[17] ὑφαίνω weven
[18] ἵζω doen zitten, laten plaats nemen in
[19] λόχος hinderlaag
[20] γόνος telg
[21] κατερύκω tegenhouden
[22] τέμενος τό domein
[23] τέμνω, *aor.* ἔταμον afbakenen
[24] ἔξοχος *+ gen.* uitstekend boven
[25] φυταλίη ἡ boomgaard; *gen. afhankelijk van τέμενος*
[26] νέμομαι exploiteren

Λαοδαμείῃ μὲν παρελέξατο[1] μητίετα Ζεύς,
ἣ δ᾽ ἔτεκ᾽ ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν[2].
ἀλλ᾽ ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,
ἤτοι ὃ κὰπ[3] πεδίον τὸ Ἀλήϊον[4] οἶος ἀλᾶτο[5]
ὃν θυμὸν κατέδων[6], πάτον[7] ἀνθρώπων ἀλεείνων·
Ἴσανδρον δέ οἱ υἱὸν Ἄρης ἆτος πολέμοιο
μαρνάμενον[8] Σολύμοισι κατέκτανε κυδαλίμοισι.
τὴν δὲ χολωσαμένη χρυσήνιος[9] Ἄρτεμις ἔκτα.
Ἱππόλοχος δέ μ᾽ ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι,
πέμπε δέ μ᾽ ἐς Τροίην, καί μοι μάλα πόλλ᾽ ἐπέτελλεν
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον[10] ἔμμεναι ἄλλων,
μηδὲ γένος πατέρων αἰσχυνέμεν[11], οἳ μέγ᾽ ἄριστοι
ἔν τ᾽ Ἐφύρῃ[12] ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.᾽
ὣς φάτο, γήθησεν[13] δὲ βοὴν ἀγαθὸς Διομήδης.
ἔγχος μὲν κατέπηξεν[14] ἐπὶ χθονὶ πουλυβοτείρῃ[15],
αὐτὰρ ὃ μειλιχίοισι προσηύδα ποιμένα λαῶν·
‘ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός[16]·
Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
ξείνισ᾽ ἐνὶ μεγάροισιν ἐείκοσιν ἤματ᾽ ἐρύξας·
οἳ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά·
Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι[17] φαεινόν[18],
Βελλεροφόντης δὲ χρύσεον δέπας[19] ἀμφικύπελλον[20]
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ᾽ ἐμοῖσι.
Τυδέα δ᾽ οὐ μέμνημαι, ἐπεί μ᾽ ἔτι τυτθὸν[21] ἐόντα
κάλλιφ᾽[22], ὅτ᾽ ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.

---

[1] παραλέχομαι — zich leggen naast
[2] χαλκοκορυστής — met bronzen helm
[3] = κατὰ;
[4] Ἀλήϊον — Dwaalvlakte; *in Kilikia*
[5] ἀλάομαι — dwalen
[6] κατέδω — opeten
[7] πάτος — pad, voetstappen
[8] μάρναμαι — strijden
[9] χρυσήνιος — met gouden teugels
[10] ὑπείροχος *+ gen.* — uitstekend boven
[11] αἰσχύνω — beschamen
[12] *Ephyra was mogelijk de stad van het oude Elis, gelegen aan de rivier Selleeis, en de oude hoofdstad van Augeias, die door Heracles werd veroverd. Homeros vermeldt in de Katalogos van schepen en elders in de Ilias Ephyra en schrijvers hebben gedebatteerd over welke Ephyra wordt bedoeld.*
[13] γηθέω — zich verheugen
[14] καταπήγνυμι — vaststeken
[15] πουλυβότειρα — velen voedend
[16] παλαιός — oud
[17] φοῖνιξ — purper
[18] φαεινός — schitterend
[19] δέπας τό — beker
[20] ἀμφικύπελλος — met oren aan beide zijden
[21] τυτθός — klein
[22] = κατέλιπε

τὼ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
εἰμί, σὺ δ᾽ ἐν Λυκίῃ ὅτε κεν τῶν[1] δῆμον ἵκωμαι.
ἔγχεα δ᾽ ἀλλήλων ἀλεώμεθα[2] καὶ δι᾽ ὁμίλου[3]·
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ᾽ ἐπίκουροι
κτείνειν ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχείω[4],
πολλοὶ δ᾽ αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν[5] ὅν κε δύνηαι.
τεύχεα δ᾽ ἀλλήλοις ἐπαμείψομεν[6], ὄφρα καὶ οἵδε
γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ᾽ εἶναι.᾽
ὣς ἄρα φωνήσαντε καθ᾽ ἵππων ἀΐξαντε
χεῖράς τ᾽ ἀλλήλων λαβέτην καὶ πιστώσαντο[7]·
ἔνθ᾽ αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε᾽ ἄμειβε[8]
χρύσεα χαλκείων, ἑκατόμβοι᾽[9] ἐννεαβοίων.
Ἕκτωρ δ᾽ ὡς Σκαιάς τε πύλας καὶ φηγὸν[10] ἵκανεν,
ἀμφ᾽ ἄρα μιν Τρώων ἄλοχοι θέον ἠδὲ θύγατρες
εἰρόμεναι[11] παῖδάς τε κασιγνήτους τε ἔτας[12] τε
καὶ πόσιας· ὃ δ᾽ ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει
πάσας ἑξείης[13]· πολλῇσι δὲ κήδε᾽[14] ἐφῆπτο[15].
ἀλλ᾽ ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ᾽ ἵκανε
ξεστῇς[16] αἰθούσῃσι[17] τετυγμένον[18] …. αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ᾽ ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο
πλησίον ἀλλήλων δεδμημένοι[19], ἔνθα δὲ παῖδες
κοιμῶντο[20] Πριάμοιο παρὰ μνηστῇς[21] ἀλόχοισι,
κουράων δ᾽ ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
δώδεκ᾽ ἔσαν τέγεοι[22] θάλαμοι ξεστοῖο λίθοιο
πλησίον ἀλλήλων δεδμημένοι, ἔνθα δὲ γαμβροὶ
κοιμῶντο Πριάμοιο παρ᾽ αἰδοίῃς[23] ἀλόχοισιν·

---

| | |
|---|---|
| [1] sc. Λυκίων | |
| [2] ἀλέομαι | vermijden |
| [3] ὅμιλος | menigte, strijdgewoel |
| [4] κιχάνω | treffen, bereiken |
| [5] ἐναίρω | doden |
| [6] ἐπαμείβω | ruilen |
| [7] πιστόομαι | elkaar trouw beloven |
| [8] ἀμείβω *+ acc. + gen.* | iets ruilen voor |
| [9] ἑκατόμβοιος | honderd runderen waard |
| [10] φηγός ἡ | eik |
| [11] εἴρομαι | vragen naar |
| [12] ἔτης ὁ | verwant |
| [13] ἑξείης | na elkaar, op de rij af |
| [14] κῆδος τό | zorg, leed |
| [15] ἐφάπτω *+ dat.* | vastmaken aan |
| [16] ξεστός | geschaafd, gepolijst |
| [17] αἴθουσα ἡ | zuilenhal |
| [18] τετυγμένος *+ dat.* | voorzien van |
| [19] δέμω | timmeren, bouwen |
| [20] κοιμάομαι | gaan slapen |
| [21] μνηστός | door velen begeerd |
| [22] τέγεος | met een plat dak voorzien |
| [23] αἰδοῖος | eerbiedwaardig |

ἔνθά οἱ ἠπιόδωρος[1] ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος[2] ἀρίστην·
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
'τέκνον τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;
ἦ μάλα δὴ τείρουσι δυσώνυμοι[3] υἷες Ἀχαιῶν
μαρνάμενοι περὶ ἄστυ· σὲ δ᾽ ἐνθάδε θυμὸς ἀνῆκεν
ἐλθόντ᾽ ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
ἀλλὰ μέν᾽ ὄφρά κέ τοι μελιηδέα[4] οἶνον ἐνείκω,
ὡς σπείσῃς[5] Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι
πρῶτον, ἔπειτα δὲ καὐτὸς ὀνήσεαι[6] αἴ κε πίῃσθα.
ἀνδρὶ δὲ κεκμηῶτι[7] μένος μέγα οἶνος ἀέξει[8],
ὡς τύνη[9] κέκμηκας ἀμύνων σοῖσιν ἔτῃσι.'
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
'μή μοι οἶνον ἄειρε μελίφρονα[10], πότνια μῆτερ,
μή μ᾽ ἀπογυιώσῃς[11] μένεος, ἀλκῆς τε λάθωμαι·
χερσὶ δ᾽ ἀνίπτοισιν[12] Διὶ λείβειν αἴθοπα οἶνον
ἅζομαι[13]· οὐδέ πῃ[14] ἔστι κελαινεφέϊ Κρονίωνι
αἵματι καὶ λύθρῳ[15] πεπαλαγμένον[16] εὐχετάασθαι.[17]
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχεο σὺν θυέεσσιν[18] ἀολλίσσασα[19] γεραιάς·
πέπλον δ᾽, ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
καί οἱ ὑποσχέσθαι[20] δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις ἠκέστας[21] ἱερευσέμεν, αἴ κ᾽ ἐλεήσῃ
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου ἱρῆς
ἄγριον αἰχμητὴν κρατερὸν μήστωρα φόβοιο.
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης

---

[1] ἠπιόδωρος — mild
[2] εἶδος τό — uiterlijk
[3] δυσώνυμος — vervloekt
[4] μελιηδής — honingzoet
[5] σπένδω — plengen
[6] ὀνίναμαι — genieten van
[7] κάμνω — moe worden
[8] ἀέξω — vergroten
[9] = σύ
[10] μελίφρων — verkwikkend
[11] ἀπογυιόω — verlammen; + *gen. sep.* beroven van
[12] ἄνιπτος — ongewassen
[13] ἅζομαι — schroom hebben
[14] πῄ — ergens langs, op enige wijze
[15] λύθρος — vuil
[16] παλλάσσω — bezoedelen
[17] εὐχετάομαι — bidden
[18] θύος τό — offer
[19] ἀολλίζω — bijeenbrengen
[20] *inf. pro imperativo*
[21] ἤκεστος — ongetemd

ἔρχευ, ἐγὼ δὲ Πάριν μετελεύσομαι[1] ὄφρα καλέσσω
αἴ κ᾽ ἐθέλῃσ᾽ εἰπόντος ἀκουέμεν· ὥς[2] κέ οἱ αὖθι[3]
γαῖα χάνοι[4]· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα[5]
Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισίν.
εἰ κεῖνόν γε ἴδοιμι κατελθόντ᾽ Ἄϊδος εἴσω
φαίην κε φρέν᾽ ἀτέρπου[6] ὀϊζύος[7] ἐκλελαθέσθαι[8].᾽
ὣς ἔφαθ᾽, ἣ δὲ μολοῦσα[9] ποτὶ μέγαρ᾽[10] ἀμφιπόλοισι
κέκλετο· ταὶ δ᾽ ἄρ᾽ ἀόλλισσαν κατὰ ἄστυ γεραιάς.
αὐτὴ δ᾽ ἐς θάλαμον[11] κατεβήσετο κηώεντα[12],
ἔνθ᾽ ἔσάν οἱ πέπλοι παμποίκιλα[13] ἔργα γυναικῶν
Σιδονίων[14], τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν ἐπιπλὼς[15] εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν[16]·
τῶν ἕν᾽ ἀειραμένη Ἑκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃς κάλλιστος ἔην ποικίλμασιν[17] ἠδὲ μέγιστος,
ἀστὴρ[18] δ᾽ ὣς ἀπέλαμπεν: ἔκειτο δὲ νείατος[19] ἄλλων.
βῆ δ᾽ ἰέναι, πολλαὶ δὲ μετεσσεύοντο[20] γεραιαί.
αἳ δ᾽ ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλει ἄκρῃ,
τῇσι θύρας ὤϊξε Θεανὼ καλλιπάρῃος
Κισσηῒς[21] ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·
τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίῃς ἱέρειαν[22].
αἳ δ᾽ ὀλολυγῇ[23] πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον·
ἣ δ᾽ ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
εὐχομένη δ᾽ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
῾πότνι᾽ Ἀθηναίη ἐρυσίπτολι δῖα θεάων,
ἆξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν

---

[1] μετέρχομαι — gaan naar
[2] *wensachtige bijzin met potentieel karakter*: dat wel
[3] αὖθι — ter plekke
[4] χαίνω — gapen, zich openen
[5] πῆμα τό — leed; *praedicatief*
[6] ἄτερπος — onverkwikkelijk, gruwlijk
[7] οἰζύς ἡ — ellende, leed
[8] ἐκλήθομαι — vergeten
[9] ἔμολον *aor.* — gaan
[10] μέγαρα τά — paleis
[11] θάλαμος ὁ — voorraadkamer
[12] κηώεις — geurig, vol geurwerken
[13] παμποίκιλος — bont
[14] *De Sidoniërs waren bekend om hun kunstvaardigheid; Sidon was een stad in Phoinikia, tegenwoordig Saida.*
[15] ἐπιλώω, *part.* ἐπιπλὼς — bevaren
[16] εὐπατέρεια — van een edel vader
[17] ποίκιλμα τό — borduurwerk
[18] ἀστὴρ — ster
[19] νείατος — onderst; + *gen.* onder
[20] μετασεύομαι — nasnellen
[21] Κισσηῒς — dochter van Kisseus, koning van Thracië
[22] ἱέρεια ἡ — priesteres
[23] ὀλολυγή ἡ — luid gebed

πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρά τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἤνις ἠκέστας ἱερεύσομεν, αἴ κ᾽ ἐλεήσῃς
ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα.’
ὣς ἔφατ᾽ εὐχομένη, ἀνένευε[1] δὲ Παλλὰς Ἀθήνη.
ὣς αἳ μέν ῥ᾽ εὔχοντο Διὸς κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸς δώματ᾽ Ἀλεξάνδροιο βεβήκει
καλά, τά ῥ᾽ αὐτὸς ἔτευξε[2] σὺν ἀνδράσιν οἳ τότ᾽ ἄριστοι
ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι[3] τέκτονες[4] ἄνδρες,
οἵ οἱ ἐποίησαν θάλαμον[5] καὶ δῶμα[6] καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος ἐν πόλει ἄκρῃ[7].
ἔνθ᾽ Ἕκτωρ εἰσῆλθε Διῒ φίλος, ἐν δ᾽ ἄρα χειρὶ
ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ[8]· πάροιθε[9] δὲ λάμπετο δουρὸς
αἰχμὴ[10] χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης[11].
τὸν δ᾽ εὗρ᾽ ἐν θαλάμῳ περικαλλέα τεύχε᾽ ἕποντα[12]
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ᾽ ἁφόωντα[13]·
Ἀργείη δ᾽ Ἑλένη μετ᾽ ἄρα δμῳῇσι γυναιξὶν
ἧστο[14] καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε.
τὸν δ᾽ Ἕκτωρ νείκεσσεν[15] ἰδὼν αἰσχροῖς[16] ἐπέεσσι·
‘δαιμόνι᾽, οὐ μὲν καλὰ χόλον[17] τόνδ᾽ ἔνθεο θυμῷ,
λαοὶ μὲν φθινύθουσι[18] περὶ πτόλιν αἰπύ[19] τε τεῖχος
μαρνάμενοι· σέο δ᾽ εἵνεκ᾽ ἀϋτή[20] τε πτόλεμός τε
ἄστυ τόδ᾽ ἀμφιδέδηε[21]· σὺ δ᾽ ἂν μαχέσαιο καὶ ἄλλῳ,
ὅν τινά που μεθιέντα[22] ἴδοις στυγεροῦ πολέμοιο.
ἀλλ᾽ ἄνα[23], μὴ τάχα ἄστυ πυρὸς δηΐοιο[24] θέρηται[25].’
τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·

---

[1] ἀνανεύω — omhoog knikken, nee knikken, weigeren
[2] τεύχω — maken
[3] ἐριβῶλαξ — grofkluitig
[4] τέκτων — timmerman
[5] θάλαμος — vrouwenvertrek
[6] δῶμα — mannenvertrek
[7] de akropolis, de bovenstad, de burcht
[8] ἑνδεκάπηχυς — elf el lang
[9] πάροιθε *+ gen.* — voor aan
[10] αἰχμὴ — lanspunt
[11] πόρκης ὁ — ring
[12] ἕπω — bezig zijn met
[13] ἀφάω — betasten
[14] ἧμαι — zitten
[15] νεικέω — beschimpen, uitvaren tegen
[16] αἰσχρός — verwijtend
[17] χόλος — toorn, wrok
[18] φθινύθω — omkomen
[19] αἰπύς — steil
[20] ἀϋτή — krijgsgeschreeuw
[21] ἀμφιδέδηε *perf. 3 sg.* — brandt
[22] μεθίημι *+ gen.* — aflaten van
[23] ἀλλ᾽ ἄνα — sta op
[24] δήιος — verbrandend
[25] θέρομαι — verbranden

‘Ἕκτορ ἐπεί με κατ᾽ αἶσαν[1] ἐνείκεσας οὐδ᾽ ὑπὲρ αἶσαν,
τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο[2] καί μευ ἄκουσον·
οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι[3]
ἥμην ἐν θαλάμῳ, ἔθελον δ᾽ ἄχεϊ προτραπέσθαι[4].
νῦν δέ με παρειποῦσ᾽[5] ἄλοχος μαλακοῖς ἐπέεσσιν
ὅρμησ᾽[6] ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώϊον ἔσσεσθαι· νίκη δ᾽ ἐπαμείβεται[7] ἄνδρας.
ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον, Ἀρήϊα τεύχεα δύω[8]·
ἢ ἴθ᾽, ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ᾽ ὀΐω.’
ὣς φάτο, τὸν δ᾽ οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ·
τὸν δ᾽ Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι·
‘δᾶερ[9] ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης[10],
ὥς μ᾽ ὄφελ᾽[11] ἤματι τῷ ὅτε με πρῶτον τέκε μήτηρ
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα[12]
εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθά με κῦμ᾽ ἀπόερσε[13] πάρος[14] τάδε ἔργα γενέσθαι.
αὐτὰρ ἐπεὶ τάδε γ᾽ ὧδε θεοὶ κακὰ τεκμήραντο[15],
ἀνδρὸς ἔπειτ᾽ ὤφελλον[16] ἀμείνονος εἶναι ἄκοιτις,
ὃς ᾔδη[17] νέμεσίν τε καὶ αἴσχεα[18] πόλλ᾽ ἀνθρώπων.
τούτῳ δ᾽ οὔτ᾽ ἂρ νῦν φρένες ἔμπεδοι[19] οὔτ᾽ ἄρ᾽ ὀπίσσω[20]
ἔσσονται· τὼ καί μιν ἐπαυρήσεσθαι[21] ὀΐω.
ἀλλ᾽ ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷδ᾽ ἐπὶ δίφρῳ,
δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν
εἵνεκ᾽ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ᾽ ἄτης[22],
οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον[23], ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ᾽[24] ἀοίδιμοι[25] ἐσσομένοισι.’

---

| | |
|---|---|
| [1] αἶσα | deel, aandeel, het behoorlijke |
| [2] συντίθεμαι | luisteren |
| [3] νέμεσις ἡ | verontwaardiging |
| [4] προτρέπομαι | zich overgeven aan |
| [5] παρεῖπον | bepraten |
| [6] ὁρμάω | mobiliseren |
| [7] ἐπαμείβομαι | van man tot man gaan |
| [8] *voorbeeld van overgang van alleen hoofdzinnen naar ook bijzinnen* | |
| [9] δαήρ | zwager |
| [10] ὀκρυόεις | huiveringwekkend |
| [11] ὥς ... ὄφελε | *irreële wens van het verleden hier ondanks inf. praes.*; ὀφείλω - verschuldigd zijn |
| [12] θύελλα ἡ | windvlaag |
| [13] ἀποέρρω | meesleuren |
| [14] πάρος *+ aci* | voordat |
| [15] τεκμαίρομαι | beslissen |
| [16] ὤφελλον *+ inf.: irreële wens* | |
| [17] οἶδα | weten, zich storen aan |
| [18] αἴσχεα τά | verwijten |
| [19] ἔμπεδος | onwrikbaar |
| [20] ὀπίσσω | later |
| [21] ἐπαυρίσκομαι | genieten van |
| [22] ἄτη ἡ | verblinding |
| [23] μόρος | lot |
| [24] πέλομαι | zijn |
| [25] ἀοίδιμος | stof tot een lied leverend |

τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ
‘μή με κάθιζ᾽, Ἑλένη, φιλέουσά περ[1]· οὐδέ με πείσεις·
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται[2] ὄφρ᾽ ἐπαμύνω
Τρώεσσ᾽, οἳ μέγ᾽ ἐμεῖο ποθὴν[3] ἀπεόντος ἔχουσιν.
ἀλλὰ σύ γ᾽ ὄρνυθι τοῦτον, ἐπειγέσθω[4] δὲ καὶ αὐτός,
ὥς κεν ἔμ᾽ ἔντοσθεν[5] πόλιος καταμάρψῃ[6] ἐόντα.
καὶ γὰρ ἐγὼν οἶκονδὲ ἐλεύσομαι[7] ὄφρα ἴδωμαι
οἰκῆας[8] ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γὰρ οἶδ᾽ εἰ ἔτι σφιν ὑπότροπος[9] ἵξομαι αὖτις,
ἦ ἤδη μ᾽ ὑπὸ χερσὶ θεοὶ δαμόωσιν[10] Ἀχαιῶν.’
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους εὖ ναιετάοντας,
οὐδ᾽ εὗρ᾽ Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,
ἀλλ᾽ ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ
πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη[11] τε.
Ἕκτωρ δ᾽ ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν[12] ἄκοιτιν
ἔστη ἐπ᾽ οὐδὸν[13] ἰών, μετὰ δὲ δμῳῇσιν ἔειπεν·
‘εἰ δ᾽ ἄγε[14] μοι δμῳαὶ νημερτέα[15] μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πῃ ἐς[16] γαλόων[17] ἢ εἰνατέρων ἐϋπέπλων
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται[18];’
τὸν δ᾽ αὖτ᾽ ὀτρηρὴ[19] ταμίη[20] πρὸς μῦθον ἔειπεν·
‘Ἕκτορ ἐπεὶ μάλ᾽ ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτέ πῃ ἐς γαλόων οὔτ᾽ εἰνατέρων[21] ἐϋπέπλων
οὔτ᾽ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθά περ ἄλλαι
Τρῳαὶ ἐϋπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται,
ἀλλ᾽ ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ᾽ ἄκουσε
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.

---

| | |
|---|---|
| [1] *part.* + περ | ook al |
| [2] ἐπέσσυται ἐπισσεύομαι | |
| [3] ποθή ἡ | |
| [4] ἐπείγομαι | zich haasten |
| [5] ἔντοσθεν *+ gen.* | binnen |
| [6] καταμάρπτω | inhalen |
| [7] ἔρχομαι, *fut*. ἐλεύσομαι | |
| [8] οἰκεύς | huisgenoot |
| [9] ὑπότροπος | terugkerend |
| [10] δάμνημι | bedwingen |
| [11] μύρομαι | jammeren |
| [12] τέτμον | aantreffen |
| [13] οὐδός ὁ | drempel |
| [14] εἰ δ᾽ ἄγε | kom aan |
| [15] νημερτέα | onomwonden |
| [16] ἐς *+ gen.* | naar het huis/ de tempel van |
| [17] γαλόως ἡ | schoonzuster (aan de kant van de vrouw) |
| [18] ἱλάσκομαι | verzoenen |
| [19] ὀτρηρός | vlug |
| [20] ταμίη ἡ | huishoudster |
| [21] εἰνάτερες αἱ | schoonzusters (aan de kant van de man) |

ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
μαινομένῃ ἐϊκυῖα[1]· φέρει δ᾽ ἅμα παῖδα τιθήνη[2].᾽
ἦ[3] ῥα γυνὴ ταμίη, ὃ δ᾽ ἀπέσσυτο[4] δώματος Ἕκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτις ἐϋκτιμένας[5] κατ᾽ ἀγυιάς[6].
εὖτε πύλας ἵκανε διερχόμενος μέγα ἄστυ
Σκαιάς, τῇ ἄρ᾽ ἔμελλε διεξίμεναι πεδίονδέ,
ἔνθ᾽ ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος
Ἠετίων[7] ὃς ἔναιεν[8] ὑπὸ Πλάκῳ[9] ὑληέσσῃ[10]
Θήβῃ[11] Ὑποπλακίῃ Κιλίκεσσ᾽[12] ἄνδρεσσιν ἀνάσσων[13]:
τοῦ περ δὴ θυγάτηρ ἔχεθ᾽ Ἕκτορι χαλκοκορυστῇ.
ἥ οἱ ἔπειτ᾽ ἤντησ᾽[14], ἅμα δ᾽ ἀμφίπολος[15] κίεν αὐτῇ
παῖδ᾽ ἐπὶ κόλπῳ ἔχουσ᾽ ἀταλάφρονα[16] νήπιον αὔτως[17]
Ἑκτορίδην ἀγαπητὸν[18] ἀλίγκιον[19] ἀστέρι καλῷ,
τόν ῥ᾽ Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ᾽· οἶος γὰρ ἐρύετο[20] Ἴλιον Ἕκτωρ.
ἤτοι ὃ μὲν μείδησεν[21] ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι[22] παρίστατο δάκρυ χέουσα,
ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε:
᾽δαιμόνιε, φθίσει[23] σε τὸ σὸν μένος, οὐδ᾽ ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον[24], ἣ τάχα χήρη[25]
σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον[26] εἴη
σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
ἔσται θαλπωρὴ[1] ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς[2]

---

[1] ἔοικα *+ dat.* lijken op
[2] τιθήνη ἡ voedster
[3] ἠμί spreken
[4] ἀποσεύομαι wegsnellen
[5] ἐϋκτίμενος goed aangelegd
[6] ἀγυιά ἡ straat
[7] *nominativus door assimilatie met het relativum*
[8] ναίω wonen
[9] *het Plakosgebergte in Kilikia in Asia*
[10] ὑλήεις bosrijk
[11] *Thebe in Asia in Kilikia ten zuiden van de Ida*
[12] *de Kilikiërs, volk in Asia*
[13] ἀνάσσω *+ dat.* heersen temidden van
[14] ἀντάω *+ dat.* tegemoet gaan
[15] ἀμφίπολος dienares
[16] ἀταλάφρων onschuldig, kinderlijk
[17] αὔτως zo
[18] ἀγαπητός bemind
[19] ἀλίγκιος lijkend op
[20] ῥύομαι beschermen, redden
[21] μειδάω glimlachen
[22] ἄγχι dichtbij
[23] φθίνω te gronde richten
[24] ἄμμορος ongelukkig
[25] χήρη weduwe
[26] κέρδιον beter

ἀλλ᾽ ἄχε᾽[3]· οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
ἤτοι γὰρ πατέρ᾽ ἁμὸν[4] ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν
Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε[5], σεβάσσατο[6] γὰρ τό γε θυμῷ,
ἀλλ᾽ ἄρα μιν κατέκηε σὺν ἔντεσι[7] δαιδαλέοισιν[8]
ἠδ᾽ ἐπὶ σῆμ᾽[9] ἔχεεν· περὶ δὲ πτελέας[10] ἐφύτευσαν[11]
νύμφαι ὀρεστιάδες[12], κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν
οἳ μὲν πάντες ἰῷ[13] κίον[14] ἤματι Ἄϊδος εἴσω·
πάντας γὰρ κατέπεφνε[15] ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἐπ᾽ εἰλιπόδεσσι[16] καὶ ἀργεννῇς[17] ὀΐεσσι.
μητέρα δ᾽, ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
τὴν ἐπεὶ ἂρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοισι κτεάτεσσιν[18],
ἂψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι᾽ ἄποινα,
πατρὸς δ᾽ ἐν μεγάροισι βάλ᾽ Ἄρτεμις ἰοχέαιρα.
Ἕκτορ ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς[19] παρακοίτης[20]·
ἀλλ᾽ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν᾽ ἐπὶ πύργῳ,
μὴ παῖδ᾽ ὀρφανικὸν[21] θήῃς χήρην τε γυναῖκα:
λαὸν δὲ στῆσον παρ᾽ ἐρινεόν[22], ἔνθα μάλιστα
ἀμβατός[23] ἐστι πόλις καὶ ἐπίδρομον[24] ἔπλετο τεῖχος.
τρὶς γὰρ τῇ γ᾽ ἐλθόντες ἐπειρήσανθ᾽ οἱ ἄριστοι
ἀμφ᾽[25] Αἴαντε δύω καὶ ἀγακλυτὸν[26] Ἰδομενῆα
ἠδ᾽ ἀμφ᾽ Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον[1] υἱόν·

---

[1] θαλπωρή ἡ — troost
[2] ἐφέπω, *aor.* ἐπέσπον — vervolgen; *aor.* treffen
[3] ἄχος τό — smart
[4] ἀμός — ons (*bezit.vnw*)
[5] ἐξεναρίζω — van de wapenrusting beroven
[6] σεβάζομαι — schroom hebben voor
[7] ἔντος τό — wapen; *normaal in het meervoud*
[8] δαιδάλεος — kunstig gemaakt
[9] σῆμα τό — grafteken
[10] πτελέη — olm
[11] φυτεύω — planten
[12] ὀρεστιάς — in de bergen levend
[13] ἴος, ἴα — één, dezelfde
[14] κίνυμαι, *aor.* ἔκιον — gaan
[15] κατέπεφνον aor. — doden
[16] εἰλίπος — sleepvoetend
[17] ἀργεννός — blinkend wit
[18] κτέαρ τό — bezitting, *alleen in pl.*
[19] θαλερός — weelderig, krachtig
[20] παρακοίτης — echtgenoot
[21] ὀρφανικός — wees
[22] ἐρινεός — wilde vijg
[23] ἀμβατός — beklimbaar
[24] ἐπίδρομος — bestormbaar
[25] ἀμφί *+ acc.* — aan weerszijden van
[26] ἀγακλυτός — zeer beroemd

ἤ πού τίς σφιν ἔνισπε[2] θεοπροπίων ἐῢ εἰδώς[3],
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.᾽
τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
‘ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς[4]
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους[5],
αἴ κε κακὸς ὣς[6] νόσφιν[7] ἀλυσκάζω[8] πολέμοιο
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι
ἀρνύμενος[9] πατρός τε μέγα κλέος ἠδ᾽ ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω[10] Πριάμοιο.
ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος[11] ὀπίσσω,
οὔτ᾽ αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων[12]
δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ[13] ἀπούρας[14]·
καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς[15] ἄλλης ἱστὸν[16] ὑφαίνοις[17],
καί κεν ὕδωρ φορέοις[18] Μεσσηΐδος[19] ἢ Ὑπερείης
πόλλ᾽ ἀεκαζομένη[20], κρατερὴ δ᾽ ἐπικείσετ᾽[21] ἀνάγκη·
καί ποτέ τις εἴπῃσιν[22] ἰδὼν κατὰ δάκρυ χέουσαν·
‟Ἕκτορος ἥδε γυνὴ ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων ὅτε Ἴλιον ἀμφεμάχοντο.᾽
ὥς ποτέ τις ἐρέει· σοὶ δ᾽ αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ[23] τοιοῦδ᾽ ἀνδρὸς ἀμύνειν[24] δούλιον ἦμαρ.

---

| | |
|---|---|
| [1] ἄλκιμος | weerbaar, dapper |
| [2] ἐνέπω, ἔνισπον | zeggen |
| [3] εἰδώς *+ gen.* | op de hoogte van |
| [4] αἰνῶς | verschrikkelijk, zeer |
| [5] ἑλκεσίπεπλος | met slepende peplos |
| [6] ὣς | evenals, *staat na het substantivum* |
| [7] νόσφιν *+ gen.* | op een afstand van |
| [8] ἀλύσκαζω | zich hoeden |
| [9] ἄρνυμαι | verwerven |
| [10] εὐμμελίης | met goede essenhouten lans |
| [11] ἄλγος τό | smart |
| [12] χαλκοχίτων | met bronzen harnas |
| [13] ἐλεύθερον ἦμαρ | dag van de vrijheid |
| [14] απηύρων *aor., part.* ἀπούρας | afpakken |
| [15] πρὸς *+ gen.* | van de kant van, in opdracht van |
| [16] ἱστός | weefgetouw, weefsel |
| [17] ὑφαίνω | weven |
| [18] φορέω | dragen |
| [19] *de Messeïs, een bron in Lakonia en de Hupereiè, een bron in Thessalia* | |
| [20] ἀεκαζόμενος | tegen de wil |
| [21] ἐπίκειμαι | liggen op |
| [22] *coni. futuralis (van verwachting); ontbrekend κεν kan uit het voorgaande aangevuld worden.* | |
| [23] χῆτος τό | gebrek, gemis |
| [24] ἀμύνω | afweren |

ἀλλά με τεθνηῶτα χυτὴ[1] κατὰ γαῖα καλύπτοι
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ᾽ ἑλκηθμοῖο[2] πυθέσθαι.᾽
ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο[3] φαίδιμος Ἕκτωρ:
ἂψ δ᾽ ὃ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
ἐκλίνθη ἰάχων[4] πατρὸς φίλου ὄψιν[5] ἀτυχθεὶς[6]
ταρβήσας[7] χαλκόν τε ἰδὲ λόφον[8] ἱππιοχαίτην,
δεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα[9] νοήσας.
ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
αὐτίκ᾽ ἀπὸ κρατὸς[10] κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν[11]·
αὐτὰρ ὅ γ᾽ ὃν φίλον υἱὸν ἐπεὶ κύσε[12] πῆλέ[13] τε χερσὶν
εἶπε δ᾽ ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι·
᾽Ζεῦ ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμὸν ὡς καὶ ἐγώ περ ἀριπρεπέα[14] Τρώεσσιν,
ὧδε βίην τ᾽ ἀγαθόν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴποι πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων
ἐκ πολέμου ἀνιόντα· φέροι δ᾽ ἔναρα[15] βροτόεντα[16]
κτείνας δήϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.᾽
ὣς εἰπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ᾽ ἑόν· ἣ δ᾽ ἄρα μιν κηώδεϊ[17] δέξατο κόλπῳ
δακρυόεν γελάσασα· πόσις δ᾽ ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξεν[18] ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
᾽δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο[19] θυμῷ·
οὐ γάρ τίς μ᾽ ὑπὲρ[20] αἶσαν[21] ἀνὴρ Ἄϊδι προϊάψει[22]·
μοῖραν[23] δ᾽ οὔ τινά φημι πεφυγμένον[24] ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

| | |
|---|---|
| [1] χυτός | opgeworpen, gestort |
| [2] ἑλκηθμός | het wegslepen |
| [3] ὀρέγομαι *+ gen.* | zich uitstrekken naar |
| [4] ἰάχω | schreeuwen |
| [5] ὄψις ἡ | aangezicht |
| [6] ἀτύζομαι | bang zijn voor |
| [7] ταρβέω | vrezen |
| [8] λόφος | helmbos |
| [9] νεύω | schudden |
| [10] κάρη τό, κρατός | hoofd |
| [11] παμφανάω | geheel schitteren |
| [12] κυνέω | kussen |
| [13] πάλλω | slingeren, wiegen |
| [14] ἀριπρεπής | zeer schitterend |
| [15] ἔναρα τά | wapenbuit |
| [16] βροτόεις | bebloed |
| [17] κηώδης | geurig |
| [18] καταρέζω | strelen |
| [19] ἀκαχίζομαι | bedroefd zijn |
| [20] ὑπέρ *+ acc.* | over iets heen, in strijd met |
| [21] αἶσα ἡ | lot |
| [22] προιάπτω | toewerpen |
| [23] μοῖρα ἡ | lot, toegewezen deel |
| [24] φεύγω | vluchten; *hier een perf. perifrasticum* |

ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε[1]
ἱστόν τ᾽ ἠλακάτην[2] τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι[3]· πόλεμος δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί, τοὶ Ἰλίῳ ἐγγεγάασιν[4].᾽
ὣς ἄρα φωνήσας κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ
ἵππουριν[5]· ἄλοχος δὲ φίλη οἶκον δὲ βεβήκει
ἐντροπαλιζομένη[6], θαλερὸν κατὰ δάκρυ χέουσα.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο, κιχήσατο[7] δ᾽ ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν[8].
αἳ μὲν ἔτι ζωὸν γόον[9] Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
οὐ γάρ μιν ἔτ᾽ ἔφαντο[10] ὑπότροπον[11] ἐκ πολέμοιο
ἵξεσθαι προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.
οὐδὲ Πάρις δήθυνεν[12] ἐν ὑψηλοῖσι δόμοισιν,
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα ποικίλα χαλκῷ,
σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι[13] πεποιθώς.
ὡς δ᾽ ὅτε τις στατὸς[14] ἵππος ἀκοστήσας[15] ἐπὶ φάτνῃ[16]
δεσμὸν ἀπορρήξας[17] θείῃ πεδίοιο[18] κροαίνων[19]
εἰωθὼς λούεσθαι ἐϋρρεῖος[20] ποταμοῖο[21]
κυδιόων[22]· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται[23]
ὤμοις ἀΐσσονται[24]· ὃ δ᾽ ἀγλαΐηφι[25] πεποιθὼς
ῥίμφά[26] ἑ γοῦνα[27] φέρει μετά τ᾽ ἤθεα[28] καὶ νομὸν[1] ἵππων·

---

| | |
|---|---|
| [1] κομίζω | zorgen voor |
| [2] ἠλακάτη | spinrokken |
| [3] ἐποίχομαι | gaan naar |
| [4] ἐγγίγνομαι | geboren worden in; *hier perf. met dubbele vocalisatie van de nu: die van de stam en die van de uitgang -nti* |
| [5] ἵππουρις | met paardeharenhelmbos |
| [6] ἐντροπαλίζομαι | zich telkens omkeren |
| [7] κιχάνω | aantreffen |
| [8] ἐνόρνυμι | verwekken |
| [9] γοάω, *aor.* γόον | jammeren |
| [10] φημί (*act.=med.)* | zeggen, denken |
| [11] ὑπότροπος | terugkerend |
| [12] δηθύνω | talmen |
| [13] κραιπνός | snel, vlug |
| [14] στατός | op stal gezet |
| [15] ἀκοστέω | zich tegoed doen aan gerst |
| [16] φάτνη ἡ | ruif |
| [17] ἀπορρήγνυμι | verbreken |
| [18] *gen. loci* | |
| [19] κροαίνω | stampen |
| [20] ἐυρρεής | sterk stromend |
| [21] *gen.loci* | |
| [22] κυδιάω | trots zijn |
| [23] χαῖται αἱ | haren, manen |
| [24] αἴσσομαι | fladderen |
| [25] ἀγλαίη ἡ | luister |
| [26] ῥίμφά | snel |
| [27] γόνυ τό, γούνατος | knie |
| [28] ἦθος τό | verblijfplaats, weide |

ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων[2] ὥς τ᾽ ἠλέκτωρ[3] ἐβεβήκει
καγχαλόων[4], ταχέες δὲ πόδες φέρον· αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεὸν εὖτ᾽[5] ἄρ᾽ ἔμελλε
στρέψεσθ᾽[6] ἐκ χώρης ὅθι ᾗ ὀάριζε[7] γυναικί.
τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδής·
'ἠθεῖ᾽[8], ἦ μάλα δή σε καὶ ἐσσύμενον[9] κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίσιμον[10] ὡς ἐκέλευες;'
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ:
'δαιμόνι᾽, οὐκ ἄν τίς τοι ἀνὴρ ὃς ἐναίσιμος[11] εἴη
ἔργον ἀτιμήσειε[12] μάχης, ἐπεὶ ἄλκιμός[13] ἐσσι·
ἀλλὰ ἑκὼν μεθιεῖς[14] τε καὶ οὐκ ἐθέλεις· τὸ δ᾽ ἐμὸν κῆρ
ἄχνυται[15] ἐν θυμῷ, ὅθ᾽[16] ὑπὲρ σέθεν αἴσχε᾽[17] ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ᾽ ἴομεν· τὰ δ᾽ ὄπισθεν[18] ἀρεσσόμεθ᾽[19], αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον[20] ἐν μεγάροισιν
ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.'

---

[1] νομός — weide
[2] παμφαίνω — geheel schitteren
[3] ἠλέκτωρ — de stralende zon
[4] καγχαλάω — juichen
[5] εὖτε — toen, wanneer
[6] στρέφομαι — zich omdraaien (om heen te gaan)
[7] ὀαρίζω — praten
[8] ἠθεῖος — dierbaar, best
[9] σεύομαι, *perf. part.* ἐσσύμενος — zich haasten
[10] ἐναίσιμον *adv.* — op tijd
[11] ἐναίσιμος — behoorlijk
[12] ἀτιμάω — minachten, geringschatten
[13] ἄλκιμός — weerbaar
[14] μεθίημι — aflaten van
[15] ἄχνυμαι — verdriet hebben
[16] = ὅτε *met coni. iterativus*
[17] αἴσχος τό — schande, verwijt
[18] ὄπισθεν — later
[19] ἀρέσκομαι — weer goed maken
[20] ἐλεύθερος — ter ere van de vrijheid